πρὸς σοφοῦ γὰρ ἀνδρὸς ἀσκεῖν σώφρον᾽ εὐοργησίαν.

ΠΕ. πέπονθα δεινά· διαπέφευγέ μ᾽ ὁ ξένος,
ὃς ἄρτι δεσμοῖς ἦν κατηναγκασμένος.
ἔα ἔα·
ὅδ᾽ ἐστὶν ἁνήρ· τί τάδε; πῶς προνώπιος
φαίνῃ πρὸς οἴκοις τοῖς ἐμοῖς, ἔξω βεβώς;

ΔΙ. στῆσον πόδ᾽, ὀργῇ δ᾽ ὑπόθες ἥσυχον πόδα.

ΠΕ. πόθεν σὺ δεσμὰ διαφυγὼν ἔξω περᾷς;

ΔΙ. οὐκ εἶπον — ἢ οὐκ ἤκουσας — ὅτι λύσει μέ τις;

ΠΕ. τίς; τοὺς λόγους γὰρ ἐσφέρεις καινοὺς ἀεί.

ΔΙ. ὃς τὴν πολύβοτρυν ἄμπελον φύει βροτοῖς.

ΠΕ. ὠνείδισας δὴ τοῦτο Διονύσῳ καλόν.

ΔΙ. . . . . . . . . . . . . . . . . . . . . . . . . . .

ΠΕ. κλῄειν κελεύω πάντα πύργον ἐν κύκλῳ.

ΔΙ. τί δ᾽; οὐχ ὑπερβαίνουσι καὶ τείχη θεοί;

ΠΕ. σοφὸς σοφὸς σύ, πλὴν ἃ δεῖ σ᾽ εἶναι σοφόν.

ΔΙ. ἃ δεῖ μάλιστα, ταῦτ᾽ ἔγωγ᾽ ἔφυν σοφός.
κείνου δ᾽ ἀκούσας πρῶτα τοὺς λόγους μάθε,
ὃς ἐξ ὄρους πάρεστιν ἀγγελῶν τί σοι·
ἡμεῖς δέ σοι μενοῦμεν, οὐ φευξούμεθα.

ΑΓΓΕΛΟΣ

Πενθεῦ κρατύνων τῆσδε Θηβαίας χθονός,
ἥκω Κιθαιρῶν᾽ ἐκλιπών, ἵν᾽ οὔποτε
λευκῆς χιόνος ἀνεῖσαν εὐαγεῖς βολαί.

ΠΕ. ἥκεις δὲ ποίαν προστιθεὶς σπουδὴν λόγου;

ΑΓ. βάκχας ποτνιάδας εἰσιδών, αἳ τῆσδε γῆς
οἴστροισι λευκὸν κῶλον ἐξηκόντισαν,
ἥκω φράσαι σοὶ καὶ πόλει χρῄζων, ἄναξ,
ὡς δεινὰ δρῶσι θαυμάτων τε κρείσσονα.